πρὸς σὲ καλέσαι σε; διὰ τί οὐκ ἤρχου πρός με; ὄντως οὐ δυνή-
σομαι τιμῆσαί σε; [38]καὶ εἶπεν Βαλααμ πρὸς Βαλακ Ἰδοὺ ἥκω πρὸς 38
σέ· νῦν δυνατὸς ἔσομαι λαλῆσαί τι; τὸ ῥῆμα, ὃ ἐὰν βάλῃ ὁ θεὸς
εἰς τὸ στόμα μου, τοῦτο λαλήσω. [39]καὶ ἐπορεύθη Βαλααμ μετὰ 39
Βαλακ, καὶ ἦλθον εἰς πόλεις ἐπαύλεων. [40]καὶ ἔθυσεν Βαλακ πρό- 40
βατα καὶ μόσχους καὶ ἀπέστειλεν τῷ Βαλααμ καὶ τοῖς ἄρχουσι
τοῖς μετ᾽ αὐτοῦ. [41]καὶ ἐγενήθη πρωὶ καὶ παραλαβὼν Βαλακ τὸν 41
Βαλααμ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὴν στήλην τοῦ Βααλ καὶ ἔδειξεν
αὐτῷ ἐκεῖθεν μέρος τι τοῦ λαοῦ. [1]καὶ εἶπεν Βαλααμ τῷ Βαλακ 23
Οἰκοδόμησόν μοι ἐνταῦθα ἑπτὰ βωμοὺς καὶ ἑτοίμασόν μοι ἐνταῦθα
ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς. [2]καὶ ἐποίησεν Βαλακ ὃν τρόπον 2
εἶπεν αὐτῷ Βαλααμ, καὶ ἀνήνεγκεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βω-
μόν. [3]καὶ εἶπεν Βαλααμ πρὸς Βαλακ Παράστηθι ἐπὶ τῆς θυσίας 3
σου, καὶ πορεύσομαι, εἴ μοι φανεῖται ὁ θεὸς ἐν συναντήσει, καὶ
ῥῆμα, ὃ ἐάν μοι δείξῃ, ἀναγγελῶ σοι. καὶ παρέστη Βαλακ ἐπὶ τῆς
θυσίας αὐτοῦ, καὶ Βαλααμ ἐπορεύθη ἐπερωτῆσαι τὸν θεὸν καὶ ἐπο-
ρεύθη εὐθεῖαν. [4]καὶ ἐφάνη ὁ θεὸς τῷ Βαλααμ, καὶ εἶπεν πρὸς αὐ- 4
τὸν Βαλααμ Τοὺς ἑπτὰ βωμοὺς ἡτοίμασα καὶ ἀνεβίβασα μόσχον
καὶ κριὸν ἐπὶ τὸν βωμόν. [5]καὶ ἐνέβαλεν ὁ θεὸς ῥῆμα εἰς τὸ στόμα 5
Βαλααμ καὶ εἶπεν Ἐπιστραφεὶς πρὸς Βαλακ οὕτως λαλήσεις. [6]καὶ 6
ἀπεστράφη πρὸς αὐτόν, καὶ ὅδε ἐφειστήκει ἐπὶ τῶν ὁλοκαυτωμά-
των αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωαβ μετ᾽ αὐτοῦ. [7]καὶ ἐγενήθη 7
πνεῦμα θεοῦ ἐπ᾽ αὐτῷ, καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν

Ἐκ Μεσοποταμίας μετεπέμψατό με Βαλακ,
βασιλεὺς Μωαβ ἐξ ὀρέων ἀπ᾽ ἀνατολῶν λέγων
Δεῦρο ἄρασαί μοι τὸν Ιακωβ
καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ισραηλ.
[8]τί ἀράσωμαι ὃν μὴ καταρᾶται κύριος, 8
ἢ τί καταράσωμαι ὃν μὴ καταρᾶται ὁ θεός;
[9]ὅτι ἀπὸ κορυφῆς ὀρέων ὄψομαι αὐτὸν 9
καὶ ἀπὸ βουνῶν προσνοήσω αὐτόν.
ἰδοὺ λαὸς μόνος κατοικήσει
καὶ ἐν ἔθνεσιν οὐ συλλογισθήσεται.
[10]τίς ἐξηκριβάσατο τὸ σπέρμα Ιακωβ, 10
καὶ τίς ἐξαριθμήσεται δήμους Ισραηλ;
ἀποθάνοι ἡ ψυχή μου ἐν ψυχαῖς δικαίων,
καὶ γένοιτο τὸ σπέρμα μου ὡς τὸ σπέρμα τούτων.

37 οντως/ου δυνησ.] tr. B† || 38 βαλη] pr. εμ A | το στομα] την καρδιαν A† | λαλησω] φυλαξω λαλησαι A: ex 23 12
23 3 και 2⁰] εγω δε A || 5 το > B* || 8 αρασωμαι et καταρασωμαι B†] -σομαι A | καταραται 1⁰ (non 2⁰)] κατ > A | κυριος] pr. ο A || 9 βουνων] pr. των A† | προνοησω Bc | ου > A†



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/309 UNIVERSITÄT LEIPZIG